τὸ λάμπω, τὸ φαίνω, πάλαι παρά τισιν ἐδασύνετο. ἀλλαχοῦ δὲ τὸ αὔω, τὸ ξηραίνω, δασύνεται. αὔω δὲ, τὸ λάμπω, καὶ τὸ φονῶ, ψιλοῦται, πρὸς διαστολήν. ἐκ δὲ τοῦ αὔω δασυνομένου γίνεται τὸ αὐαίνω. καὶ τῆς δασείας εἰς φ τραπείσης, φαυαίνω. ὅθεν τὸ ἀποφαυαίνω, τὸ ἀποξηραίνω. εὑρίσκεται μέντοι καὶ φαύω, ἀντὶ τοῦ πληρῶ. Εὐριπίδης ἐν Ῥήσῳ,

Ιωνίκ' ἐξώστης Ἄρης
Ἔφαυσε λαίφη τῆσδε γῆς μέγας πνέων.

τὸ γὰρ ἔφαυσε τινὲς τῶν πάνυ δοκίμων, καὶ εὐπαιδεύτων ἀνδρῶν ἑρμηνεύουσιν, ἔπλησεν, ἐνέπλησεν, ἐνεπλήρωσεν. B ἴσως δὲ οὐκ ἄτοπον ἂν εἴη εἰ λέξεως παρὰ τὸ φάω, φῶ, κατ' αἰολικὴν ἐπένθεσιν τοῦ υ φαύω γίνεσθαι. ὅθεν τὸ φαυαίνω, καὶ ἀποφαυαίνω. ὅπερ νῦν σημαίνει οὕτω ξηραίνειν, ὥστε κτείνειν. οἱ γὰρ Αἰολεῖς ἐν πολλοῖς τῶν ὀνομάτων τὸ υ ἐπεντιθέναι εἰώθασιν, ὡς ἐν τοῖς εὔκηλος, οὖρος, οὖλος, A ἀντὶ τοῦ ἔκηλος, ὅρος, ὅλος. ὅτι δὲ πάλαι τὸ αὔω τὸ ξηραίνω, ἐδασύνετο, δῆλον ἐκ τῶν συνθέτων ἀφαύω, ἀφαύσω, ὥσπερ ὁ ποιητὴς ἐχρήσατο ἐν τῇ Εἰρήνῃ καὶ ἐν ταῖς Ἐκκλησιαζούσαις. καὶ τῷ ἀφαυαίνω ἐν τῷ αὐτῷ δράματι.

Σχόλια. Καθ' οἱ Κεραμῆς.] οἱ τὸν Κεραμεικὸν οἰκοῦντες. Δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἤγετο. καὶ ἐν Πλούτῳ α' τῶν λαμπαδηφόρων τε καὶ πλείστων αἰτίαν τοῖς ὑστάτοις πλατειῶν. τοῦτο δέ φησιν Εὐφρόνιος. ὅτι ἀπὸ τοῦ ἐν τῷ Κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος, καὶ τοὺς ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγοραίων τύπτεσθαι πλατείαις B ὑπὸ τῶν νεανίσκων χερσί. καὶ λέγονται αἱ τοιαῦται Κεραμεικαὶ πληγαί. ἐμφαίνεται δὲ ἀπὸ τούτων, ὅτι παρὰ τοῖς Κεραμεικοῖς τοῦτο μάλιστα γίνεται. πύλαις δὲ τῆς εἰσόδοις τοῦ ἀγῶνος. Ταῖς πλατείαις.] ταῖς πλατείαις χερσὶ δηλονότι. ἢ μάστιξιν. ἢ οὕτω λεγομέναις Κεραμεικαῖς πληγαῖς τε καὶ πλατείαις.

## ΧΟΡΟΣ. C

Στροφὴ κώλων ι.

Χο. ΜΕγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος ἔρχεται.
Χαλεπὸν οὖν ἔργον διαιρεῖν, ὅταν ὁ μὲν τείνῃ βιαίως,
D Ὁ δ' ἐπαναστρέφειν δύνηται, κἀπερείδεσθαι τορῶς.
Ἀλλὰ μὴ 'ν ταὐτῷ κάθησθον.
Ἐσβολαὶ γάρ εἰσι πολλαὶ, χἄτεραι σοφισμάτων,
Ὅ,τι περ οὖν ἔχετον ἐρίζειν
Λέγετον, ἔπιτον, ἀναδαίρετον,
Τά τε παλαιὰ, καὶ τὰ καινά.
Κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.

## Chorvs.

CH. MAgnates, vehemens certamen, ingens bellum hîc ingruit.
*Difficile est dijudicare.*
*Cùm alter intendat vehementer:*
*Alter & refellere, & sua rectè tutari queat:*
*Sed ne eodem persistatis.*
*Multæ captionum sunt viæ, sunt multa sophismata.*
*Quicquid ergo habetis, omne id*
*Dicite propalàm & dilucidè:*
*Tam quæ sunt noua, quàm quæ prisca.*
*Et tentate quippiam subtile, catúmque dicere.*

E

Σχόλια. Μέγα τὸ πρᾶγμα.] ἡ παροῦσα στροφὴ καὶ ἀντιστροφὴ, κώλων ἐστὶν ἑκατέρα δέκα ἐπιμεμιγμένων τριβράχεσιν. ὧν τὰ α' δ' ς' ι'. τροχαϊκὰ τετράμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ μέντοι ζ' τῆς στροφῆς ἀναπαιστικὸν πενθημιμερὲς καὶ τὸ ἑξῆς δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς, παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Μὴ 'ν ταὐτῷ κάθησθον.] μὴ ἐν τῷ αὐτῷ τόπῳ καὶ λόγῳ καὶ τρόπῳ τὰς ἀντιλογίας ποιεῖσθε. Ἐσβολαί.] ἀφορμαί. ἀρχαί. φιλονεικίαι. ἔφοδοι. Κἀποκινδυνεύετον.] ἀποκινδυνεύοντες λέγεται. τουτέστι τολμῶντες.

F

Ἀντιστροφὴ κώλων ι.

ΕΙ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ,
Τοῖς θεωμένοισιν, ὡς τὰ
Λεπτὰ μὴ γνῶναι λεγόντοιν,
Μηδὲν ὀρρωδεῖτε τοῦθ'. ὡς οὐκ ἔτ' οὕτω ταῦτ' ἔχει
Ἐστρατευμένοι γάρ εἰσι.
Βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά.
Αἱ φύσεις δ' ἄλλως κράτισαι.
Νῦν δὲ καὶ παρηκόνηνται.
Μηδὲν οὖν δείσητον, ἀλλὰ
Πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

*SI autẽ timetis, ne qua insit rerum imperitia*
*Spectatoribus, qui acuta*
*Non queant cognoscere ista:*
*Nolite hoc pauere: quoniam hoc non ita se habet amplius.*
*Milites enim fuerunt:*
G *Sed librũ iã quisq; habet, discitq́; res lõge optimas.*
*Naturæ aliàs sunt potentes:*
*At nunc maximè exacutæ.*
*Quare nil timete: verùm*
*Omnia, ꝑpter hos doctos spectatores, percurrite.*

Σχόλια. Οὐκ ἔσθ' οὕτω.] ὡς τῶν Ἀθηναίων πρότερον οὐχ ὁμοίως γεγυμνασμένων ἐν τοῖς ποιητικοῖς σοφισμοῖς.

Τὰ